τοϲ ὤφθη, Μάριοϲ ἔφη, δύναϲθαι Παμπρέπιον τὸ προβληθὲν ἀδιαπτώτωϲ ἐπιλύειν. ἦν δὲ οὗτοϲ μέλαϲ τὴν χροιάν, εἰδεχθὴϲ τὰϲ ὄψειϲ, γραμματιϲτὴϲ τὴν ἐπιϲτήμην, ἐκ Πανὸϲ ὁρμώμενοϲ τῆϲ ἐν Αἰγύπτῳ, πολὺν χρόνον κατ᾽ ἐπιγαμίαν διατρίψαϲ ἐν Ἑλλάδι. ἀχθεὶϲ οὖν παρὰ Μάρϲου πρὸϲ Ἴλλουν καὶ διελθὼν λόγον περὶ ψυχῆϲ ἐκ χρόνου κομψῶϲ πεφροντιϲμένον, ἐπεὶ ὁ οὐκ εἰδὼϲ τοῦ εἰδότοϲ ἐν οὐκ εἰδόϲιν, ὥϲ εἶπε Πλάτων, πιθανώτεροϲ ὑπάρχει, φενακιϲθεὶϲ Ἴλλουϲ μεμεριμνημένῃ ϲτωμυλίᾳ, λογιώτερον αὐτὸν πάντων ἔκρινε τῶν παιδευτῶν τῆϲ Κωνϲταντίνου. διὸ καὶ πολλὴν δοὺϲ αὐτῷ ἐκ δημοϲίων παραμυθίαν, τοὺϲ φοιτῶνταϲ ἐϲ μουϲεῖα κατ᾽ ἐκλογὴν ἐκέλευϲε παιδεύειν. ἡ μὲν οὖν εὐδαιμονία τούτου τοιαύτην ἀφορμὴν λαβοῦϲα πολλῶν αἰτία ἀτυχημάτων γέγονε τῇ πολιτείᾳ. ἦν δὲ ὁ Παμπρέπιοϲ Αἰγύπτιοϲ. ποιητικὸϲ δὲ ὢν καὶ πρὸϲ ποίηϲιν εὐφυὴϲ ἀφίκετο καὶ Ἀθήναζε, κατὰ τὴν ποιητικὴν ἐπιτήδευϲιν τὰ ἀναγκαῖα τῷ βίῳ προϲποριούμενοϲ. οἱ δὲ Ἀθηναῖοι γραμματικὸν αὐτὸν ἐποιήϲαντο καὶ ἐπὶ νέοιϲ διδάϲκαλον ἔϲτηϲαν. ὁ δὲ φιλότιμοϲ ὢν καὶ οὐδενὸϲ ἐθέλων φαίνεϲθαι δεύτεροϲ, ἁμιλλώμενοϲ ἦν πρὸϲ ἅπανταϲ, πλὴν μόνου Πρόκλου καὶ τῶν ἄλλων φιλοϲόφων. τῆϲ δὲ οὐχ οἷόϲ τε ἦν οὐδὲ ἅπτεϲθαι τῆϲ ϲοφίαϲ. περὶ δ᾽ οὖν τὴν ἄλλην προπαιδείαν οὕτω διεπονεῖτο καὶ ἐϲ τοϲοῦτον διεγυμνάζετο ὁ Παμπρέπιοϲ, ὥϲτε ἐν ὀλίγῳ χρόνῳ λογιμώτατοϲ εἶναι ἔδοξε καὶ πολυμαθέϲτατοϲ τῶν αὐτόθι παιδείαϲ μετειληχότων, Πλουτάρχου τε τοῦ Ἱερίου, ἀνδρὸϲ Ἀθηναίου, καὶ Ἀλεξανδρέωϲ Ἑρμείου τοῦ ῥήτοροϲ, ὧν τὸ κλέοϲ ὑπερβαλεῖν ἐϲπουδάκει τῆϲ πολυμαθίαϲ. τέωϲ μὲν τοίνυν ἐτιμᾶτο πρὸϲ τῶν Ἀθηναίων, οἷα διδάϲκαλοϲ οὐκ ἀγεννήϲ· μετὰ δὲ ταῦτα ἀρχὴ ἑτέρων πραγμάτων αὐτὸν διαδέχεται μεγίϲτων τε καὶ κακίϲτων, ἵνα μάθωμεν τὰϲ τῆϲ τύχηϲ μεταβολὰϲ ἐλεγχούϲαϲ ἑκάϲτοτε τῶν ψυχῶν τὰϲ παντοίαϲ προαιρέϲειϲ οὐδὲ μιᾶϲ ἧττον μέθηϲ ϲυμποτικῆϲ.

138 Παμφαήϲ: ἡ πᾶϲι φαίνουϲα φαιδρότηϲ. Σ

139 Παμφίλη, Ἐπιδαυρία, ϲοφή, θυγάτηρ Σωτηρίδου, οὗ λέγεται Hesy.
εἶναι καὶ τὰ ϲυντάγματα, ὡϲ Διονύϲιοϲ ἐν τῷ λ΄ τῆϲ Μουϲικῆϲ ἱϲτορίαϲ· ὡϲ δὲ ἕτεροι γεγράφαϲι Σωκρατίδα τοῦ ἀνδρὸϲ αὐτῆϲ. Ἱϲτορικὰ ὑπομνήματα ἐν βιβλίοιϲ λγ΄, Ἐπιτομὴν τῶν Κτηϲίου ἐν βιβλίοιϲ γ΄,